*μεὺς κεραμεῖ κοτέει καὶ τέκτονι τέκτων᾽ ὀφθαλμὸν ἐπέβαλε βάσκανον, ἀλλ᾽ ὅταν τὸ μὲν ὑπήκοον τοῖς τοῦ βασιλέως χαίρει καὶ γέγηθε καὶ τὴν δύναμιν προσεπαύξειν ἐθέλει τὴν εὔνοιαν, ὁ δ᾽ ἐπιμετρεῖ τὸ εὐεργετικόν, καὶ τὸ ἀνάλογον, κἂν φιλοίη μᾶλλον τὸν ἀμείνω τὴν φίλησιν, ʽἀγαθὴ δ᾽ ἔρις ἥδε βροτοῖσιν᾽. |*

528] *Ὁρῶσι τὸν δρόμον οἱ βάρβαροι, ἀφρονέουσι, τὴν ὁρμὴν ὑποπτήσσουσι,* 10
*τὴν κορυφὴν οὐ στέγουσι τὰς κεφαλὰς συμπατούμενοι, καὶ τὸ ἐντεῦθεν σκορπίοι τὸν ἰὸν τὴν κακίαν γίνονται καὶ βάλλειν τοὺς σοὺς ὡραίους πόδας ἐπάγονται, δι᾽ ὧν ἡμεῖς ἔχομεν τὸ μὴ βάλλεσθαι. ʽἐνέτειναν τόξον ἁμαρτωλοὶ καὶ βέλη εἰς φαρέτραν ἡτοίμασαν τοῦ κατατοξεῦσαι τοὺς εὐθεῖς τῇ καρδίᾳ᾽, ἀλλ᾽ οἱ ἐχθροί σου τῷ πλήθει τῆς δυνάμεώς σου ἐψεύσαντο καί σοι ʽἀλλόφυλοι ὑπετάγησαν᾽. οὐδὲ γὰρ εἰς διαφθορὰν τὸν ὅσιον αὐτοῦ ὁ θεὸς ἐγκατέλιπεν οὐδὲ συστράτηγος καὶ ξύμμαχος ἄμαχος ἡ σὴ παρθένος. οὔκουν οὐδαμῶς ἐπιλέληστο, ἢ δή σου καὶ ὡσεὶ παιδὸς κήδεται, καὶ τὸ βέλος ἐκεῖνο τὸ Σκυθικὸν ʽτόσσον ἀπὸ χροὸς ἔεργεν᾽, ὡς μὴ βληθῆναι τὰ καίρια. ναὶ μὴν οὐδὲ βέβλησαι· οἱ μὲν γὰρ ὡς ὄφεις τὴν πτέρναν ἐκαιροφυλάκησαν, σὺ δ᾽ ʽἐπάνω ὄφεων καὶ σκορπίων᾽ πατῶν τὰς κεφαλὰς αὐτῶν κατήραττες καὶ συνέθραυσας. ὡς δεινοί γε ἦσαν οἱ βάρβαροι καὶ τὴν πανουργίαν οὐκ ἄσοφοι. κατὰ τῶν βασιλικῶν ποδῶν ὁπλίζονται, ἵνα τὰς ἡμετέρας καθέλωσι κεφαλάς, ἵνα τὰς καταδρομὰς ἐπίσχωσιν, ἵνα τὸν δρόμον ἐφέξουσιν. ὁρῶσι καὶ πόδα τοῦ βασιλέως ἕτερον, τὸν ὑπασπιστὴν τὸν κραταιὸν εἰς μάχην καὶ τῷ βασιλεῖ ξυμπατοῦντα τὸ βάρβαρον· σοφίζονται καὶ τοῦτο τὸ μέρος τὸν αὐτοκράτορα λυπῆσαι τὸ δεύτερον καὶ χεῖρας συγκαταρώμενοι ἐπανατείνουσιν, ἀλλ᾽ ʽὁ θεὸς ὁ περιζωννύων σε δύναμιν᾽ σοὶ μὲν χεῖρας ἐπέρρωσε τὰς δὲ τῶν ἐχθρῶν παντελῶς ἐξενεύρισε· καὶ ὁ μὲν ἐχθρὸς ὑπὸ τοὺς πόδας ἔκειτο τὰ ὕστατα ἐπορχούμενος, σὺ δ᾽ αὖθις ἐπὶ τὴν κεφαλὴν ἀνατρέχεις, τὸν αὐτοκράτορα, καί, τὸν ἀδελφὸν πόδα τετρωμένον ἰδών, ἐπήλγησας μὲν ὅτι καὶ τέτρωται καὶ ὅτι μὴ πρότερον αὐτὸς ἐδέξω τὸ τραῦμα μαχόμενος, ὁ δέ σοι αὐτοκράτωρ ἀντεπήλγησε μὲν ὅτι*